vſos ſociis, & propterea ipſorum ſolutam amicitiam, & aſſeras. Nos verò ſi æqualiter, ac pro commodis erga ipſos rem geſſerimus, ſocietatem multum tẽporis conſeruabimus. Et iterum, ſi quos alios, quoniam imparati deſcendiſſent in bellum, deuictos, ſuperatóſque oſtendas, ita dixeris, ſi inſtructi bellum aggredi voluerimus, meliores certè ſpes de victoria habuerimus. Multa verò aſſumes exempla tum ex præteritis, tum etiam ex inſtantibus negotiis. Plurimæ nanque res partim ſimiles partim diſſimiles inuicem ſunt. Quamobrem id cauſæ exemplis abundabimus, & quæ ab aliis dicuntur, haud difficilè refellemus. Exemplorum ergo genera, & quomodo iis vti oporteat, & vnde multa capienda ſunt, ex antè dictis cognoſcere poſſumus.

CAPVT X.

Coniecturæ autem ſunt, quæcunque hiſce rebus, de quibus omnis habetur dictio, repugnarint, & quibus ipſa ſibi oratio aduerſatur. Auditorum enim plurimi iis contrarietatibus, quæ dicendo, agendóve contingunt, coniectant ſani ineſſe nihil neque in dictis, neque in factis quidem. Multas autem capies coniecturas, intuens ſiue ipſa ſibi aduerſarij contradicit oratio, ſiue res ipſa eſt dictioni contraria. Coniecturæ igitur huiuſmodi ſunt, & ita vbertim vti poteris.

CAPVT XI.

Commentationes verò ſunt non ex modò, quæ orationi, atque negotio aduerſantur, ſed & aliis rebus omnibus. Aſſumes autem multas, eáſque tractabis quemadmodum in quærendi ſpecie dictum eſt. Conſiderabis etiam ſicubi ipſa ſibi diſſentit oratio, aut ſi geſta negotia iuſtis, aut legi, aut vtili, aut honeſto, aut poſſibili, aut facili, aut probabili, aut mori dicentis, aut rerum conſuetudini aduerſantur. Huiuſmodi igitur commentationes ſunt contra aduerſarios aſſumendæ: his verò contrariæ pro nobis dicendæ ſunt: quippe qui oſtendamus & negotia, & verba noſtra iniuſtis, & ex legibus, & inutilibus, & improborum hominum moribus, & ſummatim iis, qui nequam cenſentur, maximè aduerſari. Oportet autem harum ſingulas breuiter, & nominibus quàm pauciſſimis eloqui. Commentationibus igitur

A τοῖς συμμάχοις χρωμένοις καὶ διαλυθεῖσαν αὐτῶν τὴν φιλίαν· καὶ λέγῃς, ἡμεῖς δὲ, ἂν ἴσως καὶ κοινῶς πρὸς αὐτοὺς προσφερώμεθα, οὐ πολὺν χρόνον τὴν συμμαχίαν φυλάξομεν. καὶ πάλιν, ἄν τινας ἑτέρους ἀπαρασκευάστως πολεμήσαντας, καὶ διὰ τοῦτο καταπολεμηθέντας ἀποφαίνῃς, εἶτα λέγῃς· ἂν παρασκευασάμενοι πολεμῶμεν, βελτίους ἂν περὶ B τῆς νίκης τὰς ἐλπίδας ἔχοιμεν. πολλὰ δὲ λήψῃ παραδείγματα διὰ τῶν προγεγενημένων πράξεων, καὶ διὰ τῶν νῦν γινομένων. τὰ γὰρ πλεῖστα τῶν ἔργων, τὰ μὲν ὅμοια, τὰ δὲ ἀνόμοια ἀλλήλοις ἐστίν. ὥστε διὰ τὴν αἰτίαν ταύτην, καὶ παραδειγμάτων εὐπορήσομεν, καὶ τοῖς ὑπὸ τῶν ἄλλων λεγομένοις, οὐ χαλεπῶς ἀντεροῦμεν. τῶν μὲν οὖν παραδειγμάτων C τούς τε τρόπους ἴσμεν, καὶ ὡς αὐτοῖς χρησόμεθα, καὶ ὅθεν πολλὰ ληψόμεθα.

Κεφάλαιον ι.

Τεκμήρια δέ ἐστιν, ὅσα ἂν ἐναντίως ᾖ πεπραγμένα τῷ περὶ οὗ ὁ λόγος, καὶ ὅσα ὁ λόγος αὐτὸς ἑαυτῷ ἐναντιοῦται. τῶν γὰρ ἀκουόντων οἱ πλεῖστοι τοῖς συμβαίνουσι περὶ τὸν λόγον, ἢ τὴν πρᾶξιν ἐναντιώμασι, τε-D κμαίρονται μηδὲν ὑγιὲς εἶναι, μήτε τῶν λεγομένων, μήτε τῶν πραττομένων. πολλὰ δὲ λήψῃ τεκμήρια σκοπῶν, εἴτε ὁ λόγος τοῦ ἐναντίου αὐτὸς αὑτῷ τῷ πράγματι ἐναντιοῦται, εἴτε ἡ πρᾶξις αὐτὴ ἐναντία τῷ λόγῳ ἐστί. τὰ μὲν οὖν τεκμήρια τοιαῦτά ἐστι, καὶ οὕτως αὐτὰ πλεῖστα ποιήσεις.

Κεφάλαιον ια.

E Ἐνθυμήματα δέ ἐστιν, οὐ μόνον τὰ τῷ λόγῳ καὶ τῇ πράξει ἐναντιούμενα, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι, λήψῃ δὲ πολλὰ μετιὼν, ὡς ἐν τῷ ἐξεταστικῷ εἴδει εἴρηται, καὶ σκοπῶν, εἴ πῃ ὁ λόγος ἑαυτῷ ἐναντιοῦται, ἢ τὰ πεπραγμένα τοῖς δικαίοις, ἢ τῷ νόμῳ, ἢ τῷ συμφέροντι, ἢ τῷ καλῷ, ἢ τῷ δυνατῷ, ἢ τῷ ῥᾳδίῳ, ἢ τῷ εἰκότι, ἢ τῷ ἤθει τοῦ λέγοντος, ἢ τῷ ἤθει τῶν πραγμάτων. τὰ μὲν οὖν τοιαῦ-F τα τῶν ἐνθυμημάτων κατὰ τῶν ἐναντίων ἐκληπτέον. τὰ δ᾽ ἐναντία τούτοις, ὑπὲρ ἡμῶν αὐτῶν δεῖ λέγειν, ὑποφαίνοντας τὰς πράξεις τὰς ἡμετέρας, καὶ τοὺς λόγους ἐναντιουμένους τοῖς ἀδίκοις, καὶ τοῖς ἀνόμοις, καὶ τοῖς ἀσυμφόροις, καὶ τοῖς τῶν ἀνθρώπων τῶν πονηρῶν ἤθεσι, καὶ συλλήβδην τοῖς μοχθηροῖς νομιζομένοις εἶναι. δεῖ δὲ τούτων ἕκαστα συνηγορεῖν ὡς βραχύτατα, καὶ φράζειν ὅτι μάλιστα ἐν ὀλίγοις τοῖς νοήμασι. τὰ μὲν οὖν ἐνθυμή-